## De recordatione mortis et de uirtute ac de diuitiis

## Περὶ μνήμης θανάτου καὶ περὶ ἀρετῆς καὶ περὶ πλούτου

Πειθαρχεῖν δεῖ τῷ λέγοντι· παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε. Οὐχ ὅτι δὲ ἱκανὸς ἐγὼ πρὸς τὸ παράγγελμα, ὥστε τῇ ἐμαυτοῦ σπουδῇ τοῦτο διαπράξασθαι, ἀλλ' οἶδα τὸν εἰπόντα· εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ᾗ παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. Διὸ ἀναγκαῖον ἡγησάμεθα γράψαι ὑμῖν ὅσα τε ἐκ τῶν θείων Γραφῶν μεμαθήκαμεν, καὶ ὑπὸ εὐλαβῶν ἀνδρῶν ἐνουθετήθημεν, καὶ εἴ τι ἐξ αὐτῆς τῆς 246 πείρας κατειλήφαμεν, ἵνα μὴ ὁμοιωθῶμεν τοῖς φθονερωτέροις τῶν τεχνιτῶν, οἵτινες τῇ βασκανίᾳ τὰ πολλὰ τῆς τέχνης ἐκ τῶν μαθητευομένων ἀποκρύβουσιν. Ἡμεῖς δὲ πιστεύομεν τῷ εἰπόντι· Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας· οὐδὲ γὰρ ἡ ἀρετὴ στενοχωρεῖται πολλοὺς ὑποδεχομένη καὶ ὑπὸ πολλῶν κατορθουμένη, καθὼς ἔφη τις καὶ τῶν Ἁγίων, ὅτι ἡ τῆς ἀρετῆς κτῆσις, κἂν πάντες μετάσχωσιν αὐτῆς οἱ ἄνθρωποι, οὐ μὴ αὐτῆς ἐκδαπανηθήσεται ὁ πλοῦτος· οὐ γὰρ κατὰ τὴν ἐπὶ γῆς κτῆσιν ὑπάρχει· ἣν οἱ διαιροῦντες εἰς τμήματα, ὅσον ἂν προσθῶσι τῇ μιᾷ μερίδι, τοσοῦτον ἀφείλαντο τῆς ἑτέρας, καὶ ὁ πλεονασμὸς τοῦ ἑνὸς ἐλάττωσίς ἐστι τοῦ συμμετέχοντος· ὅθεν καὶ αἱ περὶ τοῦ πλείονος μάχαι διὰ τὸ πρὸς ἐλαττοῦσθαι μῖσος τοῖς ἀνθρώποις συνίστανται. Ἐκείνου δὲ τοῦ τὴν ἀρετὴν κτησαμένου, ἀνεπίφθονός ἐστιν ἡ πλεονεξία τοῦ κτήματος· καὶ ὁ τὸ πλεῖον τῆς ἀρετῆς ἁρπάσας οὐδεμίαν ἤνεγκε ζημίαν τῷ συμμετασχεῖν ἀξιοῦντι τῶν ἴσων, ἀλλ' ὅσον ἔστι τις χωρητικός, αὐτός τε πληροῦται τῆς ἀγαθῆς ἐπιθυμίας, καὶ ὁ πλοῦτος τῶν ἀρετῶν 247 ἐν τοῖς προλαβοῦσιν οὐκ ἀναλίσκεται. Ἀρξώμεθα τοιγαροῦν πάλιν τῆς ὑποθέσεως, τῆς χάριτος τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμῖν συνεργούσης. Ἡ ἀμέλεια πολλῶν κακῶν αἰτία γίνεται τοῖς μὴ νήφουσι, κατὰ μικρὸν ἐξέλκουσα τῆς πνευματικῆς διαγωγῆς καὶ τὸ θερμὸν τῆς πίστεως ὑποσυλοῦσα καὶ ταῖς ἡδοναῖς ὡς δεσποίναις ὑπηρετεῖν παρασκευάζουσα· οὐ γὰρ συγχωρεῖ ἐν νῷ λαβεῖν τὰς ἐσομένας ἀμοιβὰς μετὰ τὴν τοῦ βίου ἔξοδον. Εἰ δὲ καὶ ἀκούσει ὁ ἀμελὴς τῶν Γραφῶν διαγορευουσῶν περὶ τῶν ἐσομένων μετὰ τὸν θάνατον κολάσεων, ὡς ἑτέρῳ τινὶ τεταμιευμένα, καὶ ἑαυτὸν ἔξω ὑπάρχειν τοῦ ἐγκλήματος ἀνεπαισθήτως φέρει. Ὥσπερ οὖν ἡ ἀμέλεια βλαβερά, οὕτως ἡ νῆψις ἐπωφελής, πρόξενος γινομένη παντὸς ἀγαθοῦ· τῷ γὰρ νήφοντι πάντοτε πάρεστι ἡ τοῦ Θεοῦ μνήμη· καὶ ἔνθα ἡ μνήμη τοῦ Θεοῦ καθίδρυται, πέπαυται πᾶσα ἐνέργεια τοῦ Πονηροῦ. Τὸν δὲ ἀκόρεστον πόθον τῶν μελλόντων ἀγαθῶν ἀεὶ νεάζουσα, σύντομον τὸν δρόμον ἀποτελεῖ. Καὶ ἐπὶ μὲν σωματικοῦ δρόμου χρεία μελῶν εὐρωστίας καὶ τῆς 248 ὀξυδερκίας, ἐπὶ δὲ τοῦ πνευματικοῦ ψυχῆς ἐστι χρεία κεκαθαρμένης. Κἂν γὰρ τὸ σῶμα καταπεπόνηται καὶ σεσάθρωται δι' ὑπερβολὴν ἀρρωστίας, ἀλλ' οὐδὲν παραβλάψει τὴν νήφουσαν ψυχήν· ὥσπερ οὐδὲ τὸν γενναῖον Ἰὼβ ἡ τῶν ἀλγηδόνων τρικυμία καὶ τὸ ἐπὶ τῆς κοπρίας καθῆσθαι αὐτὸν αἴθριον. Οὐδὲν ἰσχυρότερον τῆς εὐσεβείας καὶ οὐδὲν ἐλεεινότερον καὶ ἀθλιώτερον τῆς ἐμπαθοῦς ζωῆς. Ὅσον δὲ ἡδέα τὰ πρόσκαιρα, τοσοῦτον αὔξει τὴν συμφοράν· ὥσπερ γὰρ οἱ φειδωλοὶ μιᾶς ἢ δευτέρας δραχμῆς στερηθέντες ἀλγύνονται, τῇ φιλοχρηματίᾳ κεντούμενοι, καὶ ὁ φιλοκτήμων μικροῦ ἀμπελῶνος καὶ βραχείας γῆς ἀροσίμου τὴν νομὴν στερηθεὶς ἀνιᾶται, τὴν ἀποβολὴν μὴ φέρων, οὕτω καὶ τοῖς πλουσίοις συνέζευκται ἡ λύπη, τὸν χωρισμὸν τοῦ πλούτου ὑπομιμνῄσκουσα, καὶ μάλιστα ὅταν τις ἑαυτὸν θεάσαιτο πρὸς γῆρας κεκλικότα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμφοράζεται σφιγγόμενος ὥσπερ ὑπό τινος σιδήρου ἢ εἰρκτῆς, μηδεμίαν μηχανὴν ἐφευρίσκων πρὸς τὴν τοῦ γήρως ἀνατροπήν. Κἂν γὰρ δοκῇ δι' αὐλῶν καὶ τυμπάνων καὶ τῆς λοιπῆς τῶν μουσικῶν κατασκευῆς τὴν μνήμην τοῦ θανάτου ἐκ 249 κρούσασθαι, δι' ὧν ἐπιτηδεύει, διὰ τούτων μᾶλλον ταύτην αὐξάνει, ὅτι πάντως τῆς τοσαύτης εὐφροσύνης στερηθήσεται· καὶ οἱ μὲν κρότοι καὶ τὰ παίγνια καὶ ἡ ἡδίστη τῶν βουκολίων φωνὴ παύεται, ἡ δὲ λύπη ἔνδον ὑποσμύχουσα αὐτοῦ τὰ σπλάγχνα καὶ κατεσθίουσα οὐ παύεται· καίτοι γε αὐτὴ ἡ τραγικὴ διὰ τῶν μύθων καὶ πολέμων, θάνατον καὶ ἀναίρεσιν συχνῶς ἐπᾴδει. Εἰ δὲ ἄρα θανάτου ἐμνημόνευεν, πάντως ὁ φόβος τῆς προσδοκίας μετέβαλεν ἂν αὐτοῦ τὸν τρόπον πρὸς τὸ ἀγαθοεργεῖν· τίς γάρ φησι τῶν ἀπίστων καὶ ἀσεβῶν θανάτου ἐμνημόνευσεν; Μὴ ξενιζέτω ἡμᾶς τοῦτο, καθότι πᾶς ἄνθρωπος συνεζευγμένην ἔχει τὴν τοῦ θανάτου μνήμην. Καὶ οἱ μὲν ἄπιστοι κακῶς ταύτῃ κέχρηνται, τῶν ἡδέων μόνον τὸν χωρισμὸν ἀποδυρόμενοι, οἱ δὲ πιστοὶ ὡς βοήθημα καὶ ἀλεξιτήριον τῶν αἰσχίστων παθῶν ταύτῃ κατακέχρηνται. Πάντες τοίνυν πεπείσμεθα ὅτι θανάτῳ ὑποκείμεθα, πιστοί τε καὶ ἄπιστοι, τὴν δὲ μετὰ θάνατον κρίσιν οὐ πάντες πεπιστεύκασι. Καὶ οἱ μὲν δίκαιοι ταύτην ἔχοντες κατ' ὀφθαλμῶν ἀεί, κατὰ τὸν λέγοντα, καὶ καθάπερ ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, νυκτὸς καὶ ἡμέρας δεήσεις καὶ 250 ἱκεσίας ἀναπέμπουσι τῷ Θεῷ, τοῦ ῥυσθῆναι τῆς γεέννης τοῦ πυρὸς καὶ τῶν λοιπῶν βασάνων, καὶ καταξιωθῆναι τῆς μετὰ ἁγίων Ἀγγέλων χορείας. Τοῖς δὲ ἀσεβέσι καὶ ἁμαρτωλοῖς ψιλή τίς ἐστιν ἡ ἐγγινομένη τοῦ θανάτου μνήμη, οὐ περὶ τῶν ἐσομένων μετὰ θάνατον ἐναγώνιοι ὄντες, ἀλλὰ στέρησιν καὶ χωρισμὸν τῶν ἡδέων ὀδυρόμενοι. Εἰ δέ τινι αὐτῶν γένηται μνήμη ἡ τοὺς δικαίους περισφίγγουσα, τότε ἡ προτέρα λύπη οἰχήσεται συντριβομένη ὑπὸ τῆς δευτέρας· οὐκέτι γὰρ ὁμόφρων ἔσται τῶν λεγόντων, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· οὐδὲ ἀνέξεται θησαυρίζειν εἰς ἀνόνητα καὶ συνάγειν χερσὶν ἀκαρπίαν, μᾶλλον δὲ βασανισμοὺς καθ' ἑαυτοῦ, ἀλλὰ φροντὶς αὐτῷ ἐπελεύσεται, ὡς ἀνδρὶ σοφῷ, τῇ τῶν κρειττόνων ἐπιθυμίᾳ τῆς τῶν ἀσεβῶν φροντίδος ἀποδράσαι. Τῶν δὲ ἀγαπώντων τὸν ἐπίγειον πλοῦτον, πᾶς ὁ βίος ἐν ματαίᾳ ἐλπίδι προσησχόληται, καὶ ὅση ἡ τοῦ πλούτου ὑπεροχή, τοσούτῳ μειζόνως αὔξει τοῦ θανάτου τὸν φόβον· ἡ γὰρ μνήμη τοῦ θανάτου ἔνδον οἰκοῦσα ἐπιφέρει τὴν λύπην κατὰ ἀναλογίαν τῆς ἑκάστου αἰσθήσεως. Οὐχ ὅπως κατορθωθῇ αὐτῶν ἡ 251 σωφροσύνη καὶ ἡ φρόνησις, δικαιοσύνη τε καὶ ἀνδρεία· οὐ περὶ γεέννης καὶ δικαιοκρισίας Θεοῦ. Ἀλλὰ διαπορούμενοι ἐν ἑαυτοῖς, θρηνοῦσι τὸν ἑαυτῶν πλοῦτον καὶ φασί· τίς ἄρα μετὰ τὴν ἡμῶν ἀποβίωσιν ἄρξει τῆς τοσαύτης περιουσίας; (Ὅπερ φίλον ἐστὶ καὶ τοῖς βασιλεῦσι, τοῦ ἐπιγνῶναι τὸ τίς ἄρα ἄρξει τῆς βασιλείας μετ' αὐτούς). Τίς ἄρα κυριεύσει τοσούτου χρυσίου καὶ ἀργυρίου; Τίνι ἄρα μετὰ ταῦτα ἐξυπηρετήσει ἡ τοσαύτη κατασκευὴ τοῦ χρυσίου; Τίς κληρονομήσει τὰ διάχρυσα καὶ σηρικὰ ἐνδύματα, καὶ τὰς ποικίλας καὶ πολυτελεῖς ὀθόνας; Τίς ἐπιβῇ τοῖς χρυσοχαλίνοις καὶ ἐπιλέκτοις ἵπποις; Τίνι ἀκολουθήσει προϊόντι τὸ πλῆθος τῶν παίδων τὸ ἐκ διαφόρων ἐθνῶν συνηγμένον; Τίς ἄρα οἰκήσει ἐν τοῖς πύργοις καὶ τρικλίνοις, οὓς ἐγὼ ἐπιμελῶς τοῖς μαρμάροις ἐκόσμησα, ὧν τὸ ἔδαφος ἐκ ψηφίδων διήνθισται καὶ ἡ ὀροφὴ χρυσίῳ ὑπαλήλιπται; Τίνι ἄρα μετὰ ταῦτα ἐργῶνται οἱ σιτοποιοὶ καὶ οἰνοχόοι; Τίνι παραστήσονται οἱ εὐνοῦχοι διακονοῦντες; Τίς ἀνακλιθήσεται ἐπὶ ταῖς ἀργυρενδέτοις κλίναις καὶ τῶν ἐξ Ἰνδικῆς ἐχόντων τὸν ἀπαρτισμόν; Τίς τὰ γεννήματα καὶ τὸν διυλισμένον οἶνον; Τίς τῶν ἐμῶν παραδείσων ἀπαρχὰς λήψεται; Τίς τὰ περιδέραια καὶ 252 τὰς ζώνας τὰς χρυσᾶς καθέξει; Τίς τῶν ὁπλοθηκῶν καὶ τῶν ἁρμάτων καὶ τῶν ἐξησκημένων ἵππων πρὸς ὁδοιπορίαν καὶ παραταξίαν πολέμου διάδοχος ἔσται; Τίνα οἱ οἰκογενεῖς κύριον προσαγορεύσουσι; Τίς τῶν μύρων τὴν εὐοσμίαν ἐπαλείψεται; Τί τοὺς κύνας τοὺς θηρευτὰς καὶ τὰ πρὸς ἄγραν πετεινὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ἕξει; Τὰ δὲ ἀκροθίνια τίνι οἱ ἐμοὶ νομεῖς οἴσουσι; Τοὺς δὲ φόρους τίς κερδανεῖ; Καὶ ὅταν εἰς πολλὰ μέρη διασπασθῇ τῷ λογισμῷ καὶ μὴ εὕρῃ πόρον τῆς ὑποθέσεως, μέγα στενάξας, πάλιν ἐπάνεισιν ἐπὶ τὴν τοῦ οἴκου ἐπιμέλειαν, μὴ ἀνεχόμενος ἑαυτῷ θησαυρίσαι ἐν οὐρανοῖς. Ὅταν δὲ καὶ πάντα τὰ καταθύμια αὐτοῦ πέρας λάβῃ, οἷον καρπῶν εὐφορία καὶ προσόδων εὐπορία καὶ κτηνῶν εὐτοκία καὶ ἀξίωμα λαμπρὸν καὶ κατὰ τῶν πολεμίων ἀνδραγαθία, τότε ἡ τοῦ θανάτου μνήμη ὑπεισελθοῦσα ταράσσει τὴν καρδίαν. Εἰ δὲ τὰ μέλη κέκμηκε διὰ βαθύτητα γήρως καὶ μηκέτι ὑπουργεῖν δύναται πρὸς ἀτόπους καὶ ἀπειρημένας ἡδονάς, τότε δυσμένειαν καὶ τὴν ζωὴν τίθεται. Εἰ δὲ ἀπηνής τίς ἐστιν, ὠμός τε καὶ ἀλαζών, καὶ δόξει πόρρω ἀποικεῖσθαι τῆς τοῦ θανάτου μνήμης δι' ὑπερβολὴν ἀνέσεώς τε καὶ εὐημερίας, οὐ 253 παρὰ τοῦτο ἔξω που τῆς τοῦ θανάτου πείρας καθέστηκεν· ὅμοιος γάρ ἐστι νοσοῦντι καὶ ὑγιείαν ὑποκρινομένῳ καὶ τὰ ἐναντία τῆς ἀρρωστίας ἐσθίοντι, οἰόμενος διὰ τούτων ἐπεμβαίνειν τῇ νόσῳ· ἀλλ' οὐ παρὰ τοῦτο ἤδη καὶ τὸ πάθος ἐλώφησεν· ἡ γὰρ νόσος ἐν τοῖς μέλεσι νεμομένη καὶ ἄκοντα πείσει ὅτι πάθει κεκράτηται· ὅταν γὰρ θεάσηται τὸν ὁμόφυλον ὑπὸ θανάτου ἄφνω ἁρπασθέντα διὰ ποικίλων συμπτωμάτων, τότε καὶ μὴ βουλόμενος πεισθήσεται ὅτι καὶ εἰς αὐτὸν ἐλεύσεται πάντως ἡ τοῦ θανάτου ψῆφος. Εἰ δέ τις νέος εἶ ἢ νεόγαμος, πάλιν ἡ ἴδῃ τὸ ἀγαπώμενον τῆς συζύγου πρόσωπον, εὐθὺς πάντως καὶ ὁ φόβος τοῦ χωρισμοῦ συνεισέρχεται, κἂν ἀκούσῃ τῆς ἡδίστης φωνῆς, καὶ τὸ μὴ ἀκούσεσθαί ποτε ἐννοήσει· καὶ ὅταν εὐφρανθῇ τῇ θεωρίᾳ τοῦ κάλλους, τότε φρίττει μάλιστα τὴν προσδοκίαν τοῦ πένθους λογιζόμενος, ὅτι τοῦτο μὲν τὸ κάλλος οἰχήσεται, ὀστέα δὲ βδελυρὰ καὶ εἰδεχθῆ ἀντὶ τοῦ νῦν φαινομένου γενήσεται, καὶ οὐδὲ ἴχνος, οὐδὲ μνημόσυνον, οὐδὲ λείψανον τοῦ παρόντος κάλλους ἐπιφερόμενον. Εἰ ταῦτα καὶ τὰ τοιαῦτα διανοεῖται, ἆρα ἐν εὐφροσύνῃ βιώσεται; Ἆρα πι 254 στεύσει τοῖς παροῦσιν αὐτῷ ὡς χρηστοῖς καὶ ἀεὶ παραμένουσιν; Ἢ δῆλον ἐκ τούτων ὅτι, καθάπερ ἐν ταῖς τῶν ὀνείρων ἀπάταις, ἀμηχάνως καὶ ἀπίστως πρὸς τὸν βίον ἕξει, ὡς ἀλλοτρίοις προσέχων τοῖς φαινομένοις; Οἱ ἀμελεῖς καὶ καταφρονηταὶ ἐσκοτισμένοι ὄντες ἀπάτῃ τῆς ἁμαρτίας, τῶν ἡμερῶν αὐτῶν προκοπτουσῶν, οἴονται πόρρω εἶναι τῆς τοῦ θανάτου ὥρας, μηδεμίαν φροντίδα ποιούμενοι τῆς ἑαυτῶν ἐξόδου, ἀλλ' ἔτη πολλὰ καὶ χρόνους μακροὺς ἑαυτοῖς ὑπογράφουσιν· ὅμοιοι δὲ ὑπάρχοντες τῶν νυκτοπορούντων καὶ ἐν ἀωρίᾳ βαδιζόντων· οἵτινες οἴονται μακρὰν εἶναι τοῦ προκειμένου κρημνοῦ καὶ ἀπερρωγότος τόπου, ἄχρις οὗ κατακρημνισθέντων αὐτῶν, ἡ πεῖρα λύσει τὴν ἀμφισβήτησιν. Ὁ τοίνυν τὴν τοῦ βίου τούτου ἀπάτην κατανοήσας καθαρῷ τῷ τῆς ψυχῆς ὀφθαλμῷ, καὶ ὑψηλότερος τῶν ἐνταῦθα σπουδαζομένων γενόμενος, νοήσει πάντως ὅτι εἴτε ἐσθίει, εἴτε πίνει, εἴτε καθεύδει, εἴτε ἐργάζεται, εἴτε μετεωρίζεται, πᾶσαν ἡμέραν καὶ ὥραν πρὸς γῆρας καὶ λῆξιν τοῦ προσκαίρου βίου ὑπὸ τῆς φύσεως ἐλαύνεται· ὅθεν ὡς σκύβαλα τὰ πάντα περιορῶν, σπουδάσει τῆς προσπαθείας τοῦ βίου ἑαυτὸν ἐξῶσαι, ἵνα μηδεμίαν ἔχῃ κοινωνίαν πρὸς τὰ [κακὰ] ἀν 255 θρώπινα. Ὁ τοίνυν πρὸς τὸν ἐνάρετον ἀποβλέπων βίον καὶ τὴν ἀρετὴν ἑαυτῷ θησαυρίζων, ἣν οὐδεὶς ὅρος ἀνθρώπινος περιγράφει, ἆρα ἀνέξεται ἄνευ κατανύξεως καὶ δακρύων τὴν παροῦσαν ζωὴν διεξελθεῖν, ἢ πρὸς τὰ τῶν χαμερπῶν καὶ πεπατημένων τὴν ἑαυτοῦ ψυχὴν ἐπικλῖναι; Ἔτι ἆρα θαυμάσεται τὸν γηΐνον πλοῦτον, ἢ τὴν δυναστείαν τὴν ἀνθρωπίνην, ἢ ἄλλο τι τῶν ὑπὸ ἀνοίας σπουδαζομένων; Εἰ μὲν γάρ τις ἔτι περὶ τὰ τοιαῦτα διάκειται ἐμπαθῶς, ἔξω τοῦ τοιούτου ἂν εἴη χοροῦ, καὶ οὐδὲν πρὸς τὸν ἡμέτερον λόγον. Εἰ δὲ ἄνω φρονεῖ καὶ συμμετεωροπορεῖ τῷ Θεῷ, ὑψηλότερος πάντως τῶν τοιούτων ἐστί, παντὶ σθένει τὴν ἀρετὴν μεταδιώκων· οὐδὲν γὰρ ἐν βίῳ ταύτης τιμιώτερον· τοὺς γὰρ ἀνθρώπους φίλους Θεοῦ κατασκευάζει. Ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ὡς ψάμμος ὀλίγη, καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς. Κακουχία ταύτην οὐκ ἐμάρανε, καὶ ἀσθένεια



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταύτην οὐκ ἠμαύρωσε· καὶ ὁ τοῖς πᾶσι φοβερὸς θάνατος ὑπὸ τῶν κατορθωκότων τὴν ἀρετὴν καταπεφρόνηται· μετὰ γὰρ παρρησίας κεκράξονται ἅμα τῷ λέγοντι· τὴν ἐπιθυμίαν ἔχω ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Ὧ ἡ δόξα είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.